Ακαδημία Αθηνών / Academy of Athens

**ξύνεσις.** Βλ. **σύνεσις.**

**ξυνετός** (συνών. *εὖ/ὀρθὰ φρονέων*, ἀντίθ. *ἀξύνετος*). Συνετός/φρόνιμος, prudent/wise, Δημόκριτος 98 *ἑνὸς φιλίη ξ υ ν ε τ ο ῦ κρέσσων ἀξυνέτων πάντων.*

**ξυνῇ** (ἀντίθ. *ἰδίᾳ*). Ἀπὸ κοινοῦ, in common, Δημόκριτος 3.2 *τὸν εὐθυμεῖσθαι μέλλοντα χρὴ μὴ πολλὰ πρήσσειν, μήτε ἰδίῃ μήτε ξ υ ν ῇ, μηδὲ ἅσσ' ἂν πράσσῃ, ὑπέρ τε δύναμιν αἱρεῖσθαι τὴν ἑωυτοῦ καὶ φύσιν.*

**ξυνὸς** (τύπ. *κοινός*, ἀντίθ. *ἴδιος*) **1.** Κοινός, common, Ἡράκλειτος 2 *διὸ δεῖ ἕπεσθαι τῷ ⟨ξ υ ν ῷ⟩... τοῦ λόγου δ' ἐόντος ξ υ ν ο ῦ ζώουσιν οἱ πολλοὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν* 80 *εἰδέναι δὲ χρὴ τὸν πόλεμον ἐόντα ξ υ ν ό ν, καὶ δίκην ἔριν* 103 *ξ υ ν ὸ ν γὰρ ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας* 114 *ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξ υ ν ῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Παρμενίδης 11.2 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη αἰθήρ τε ξ υ ν ὸ ς γάλα τ' οὐράνιον καὶ ὄλυμπος ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὡρμήθησαν γίγνεσθαι* Δημόκριτος 252.2 *παρὰ τὸ χρηστὸν τὸ τοῦ ξ υ ν ο ῦ* 279.6 *ἐν γὰρ τῷ ξ υ ν ῷ τὰ τελεύμενα οὐκ ἀνιᾷ ὥσπερ ἰδίῃ οὐδ' εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧσσον* 282 *χρημάτων χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξ υ ν ὴ (?)* 287 *ἀπορίη ξ υ ν ὴ τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης* 293 *οἷσιν ἡδονὴν ἔχουσιν αἱ τῶν πέλας ξυμφοραί, οὐ ξυνιᾶσι μὲν ὡς τὰ τῆς τύχης κ ο ι ν ὰ πᾶσιν, ἀπορέουσι δὲ οἰκηίης χαρᾶς* **2.** Συνηθισμένος, usual, Δημόκριτος 151 *ἐν γὰρ ξ υ ν ῷ ἰχθύι ἄκανθαι οὐκ ἔνεισιν.* || **ξυνόν (ἐστί).** (Εἶναι) ἀδιάφορο, (it is) indifferent, Παρμενίδης 5.1 *ξ υ ν ὸ ν δέ μοί ἐστιν, ὁππόθεν ἄρξωμαι· τόθι γὰρ πάλιν ἵξομαι αὖθις.*

**ξυνουσίη.** Συνουσία/ἐρωτικὴ συνεύρεση, coition, Δημόκριτος 32 *ξ υ ν ο υ σ ί η ἀποπληξίη σμικρή.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ